A κεκνομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρᾳ. ἐξέσθεται δὲ, ἐκτρώγει. τοὔψον δὲ, τὸ βρῶμα. ἄλλοσε δὲ χάσκης, ἀντὶ τοῦ περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς.

BISETVS. Τοὔψον] τὸ ὄψον.

Σχόλια. Ἐς τοὐπτάνιον.] ἀντὶ τοῦ ἐπὶ τὸ Πρυτανεῖον εἰπεῖν, εἶπεν εἰς τοὐπτάνιον, τουτέστι τὸ μαγειρεῖον.

BISETVS. Τοὐπτάνιον] τὸ ὀπτάνιον, τὸ μαγειρεῖον, ἐν ᾧ τὰ ὄψα ὀπτῶνται.

B Σχόλ. Νύκτωρ τὰς λοπάδας.] ὅτι τοὺς φόρους τῶν νήσων καὶ τῶν πόλεων ἀφήρπαζεν. ὡς κύνες οἱ εἰς τὰ μαγειρεῖα εἰσιόντες, περιλείχουσι τὰς λοπάδας καὶ τὰς χύτρας, οὕτω καὶ ὁ Κλέων ἐάν τι τοῖς νησιώταις περιλειφθῇ καὶ τοῦτο λαμβάνει. ἄλλως. ἔπαιξε πρὸς τὸ γινόμενον ὑπὸ τῶν κυνῶν. οἱ γὰρ ἁρπάσαντές τι, εἰώθασιν εἰς τοὺς ἡσυχίαν ἔχοντας τόπους ἀναχωρήσαντες, ἐμφορεῖσθαι. Καὶ τὰς νήσους διαλείχων.] ὅτι ἀντὶ τοῦ εἰπεῖν τὰς χύτρας, παρ' ὑπόνοιαν εἶπε τὰς νήσους, τουτέστι τοὺς τῆς πόλεως πόρους διαρπάζων καὶ τοὺς νησιώτας διασείων. Νὴ τὸν Ποσειδῶ.] πρὸς τὸν

ἀλλαντοπώλην ὁ λόγος. τῶν δ' ἐξῆς τούτων ἓξ στίχοι, ὧν μὲν α' β' ἰαμβικοί. οἱ δὲ λοιποὶ τέσσαρες δακτυλικοί, ἐπὶ τῷ τέλει παράγραφος. Κώνωψι.] τοῖς ῥήτορσιν ἤγουν τοῖς μήδοις λέγει. Ὥστε περὶ σκύμνοις.] ὡς λέων ὑπὲρ μαχῶν σκύμνων. Τεῖχος ποιήσας ξύλινον.] τὰς ναῦς φησι. μετέστησαν δὲ τότε εἰς Σαλαμῖνα. ἐδόθη δὲ ὁ χρησμὸς ἐπιόντος τοῦ βαρβάρου ἐδόθη, ἀγνοούντων δὲ αὐτῶν, καὶ βουλομένων ξυλίνῳ τείχει τὴν πόλιν τειχίσαι, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν εἶπε τεῖχος τὰς ναῦς λέγειν. ἔστι δὲ ὁ χρησμός.

Τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς.
Μοῦνον ἀπόρθητον τελέθειν διὰ Παλλάδα κούρην.
Μὴ δὲ σύγ' ἱπποσύνην μίμνειν καὶ πεζὸν ἰόντα
Νῶτον ἐπιστρέψαις, ἔτι γάρ τοι κἀντίος ἔσσῃ.
Ὦ θείη Σαλαμὶς ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.
Ἤπου σκιδναμένης Δημήτερος ἢ συνιούσης.

Πύργους σιδηροῦς.] τὰ ὅπλα λέγει. Ταῦτ' ἴσθ' ὅτι.] ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι ι. ἐφ' ὧν τῷ τέλει παράγραφος.

C Δη. Καὶ πῶς μ' ἐλελήθεις Ἀντιλέων γεγενημένος;
Αλ. Ἓν οὐκ ἀνεδιδάσκει σε τῶν λογίων ἑκών,
Ὃ μόνον σιδηροῦν τεῖχός ἐστι, καὶ ξύλινον,
Ἐν ᾧ σε σῴζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.
Δη. Πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός; Αλ. τουτονὶ
Δῆσαί σ' ἐκέλευε πεντεσυρίγγῳ ξύλῳ.
Δη. Ταυτὶ τελεῖσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.
D Κλ. Μὴ πείθου. φθονεραὶ γὰρ ἐπικεκράζουσι κορῶναι.
Ἀλλ' ἱέρακα φίλει, μεμνημένος ἐν φρεσὶν, ὅς σοι
Ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.
Αλ. Τοῦτό γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς,
Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα τοὔργον;
Καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη,
E Ἀλλ' οὐκ ἂν μαχέσαιτο, χέσαιτο γὰρ, εἰ μαχέσαιτο.
Κλ. Ἀλλὰ τόδε φράζου, πρὸ Πύλου Πύλον ἥν σοι ἔφραζεν,
Ἔστι Πύλος πρὸ Πύλοιο. Δη. τί τοῦτο λέγει πρὸ Πύλοιο;

C Po. *Et quomodo me latuisti, qui quasi leo eras?*
Ag. *Vnum te cælat astutè ex oraculo,*
*Qui ligneus & ferreus murus siet:*
*In quo te Apollo seruare illum iusserit.*
Po. *Quomodo igitur hoc dixit Deus?* Ag. *ligare te*
*Iubet virum hunc in ligno quinque foraminum.*
Po. *Lubet profecto hæc exequier oracula.*
D Cl. *Ne morem gere. cornices malè cornicantur inique:*
*Accipitrem sed ama, memor, vt Lacedæmone (vinctos,*
*Duxerit ille tibi Coracinos vndique pisces.*
Ag. *Hæc equidem subiit Paphlago discrimina potus,*
*Cecropide demẽs, an magnũ opus esse putas hoc?*
*Fert onus & mulier, quod ei indit fortè maritus*
E *Nec pugnat. nam turpe cacet, si ferre recuset.*
Cl. *Hoc perpende, Pylum siquam ante Pylum tibi dixit,*
*Est Pylus ante Pylum.* Po. *sibi quid vult ante Pylum isthuc?*

Σχόλια. Ἀντιλέων.] οὗτος πονηρὸς κωμῳδεῖται καὶ πολυπράγμων, προείρηκει δὲ ὁ Κλέων ἀντὶ τοῦ λέοντος αὐτῷ εἶναι φύλαξ.

BISETVS. Ἀντιλέων] ὅτι ὁ Κλέων ἔλεξεν ἑαυτὸν ἀντὶ τοῦ λέοντος κατὰ τὸν χρησμὸν εἶναι τῇ πόλει, ὁ δῆμος παίζων, καὶ διαβάλλων τὸν Κλέωνα τοῦτο λέγει, καὶ ἐκ τοῦ ἀντὶ προθέσεως, καὶ τοῦ λέων, ὄνομα κύριον πονηροῦ ἀνδρὸς ἐποίησεν, ὃν Κλέωνα πρότερον εἶναι ἠγνόει.

F Σχόλια. Σιδηροῦν.] τεῖχός ἐστι καὶ ξύλινον. ἀντὶ τοῦ ξύλων σιδηρῶν. οὕτω τὸ ἑξῆς. σῴζειν δὲ, φυλάττειν. τελεῖσθαι δέ φησι τὰ λόγια ὡς αὐτὸν δεσμεῦσαι βουλόμενος. Πεντεσυρίγγῳ.] πέντε ὀπὰς ἔχοντι δι' ὧν οἵ τε πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἀνεβάλλετο. Μὴ πείθου.] οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσι δέκα. ὧν ἐπὶ τῷ τέλει παράγραφος. κορώνας δέ φησι τοὺς ἐχθροὺς ἑαυτοῦ, ἱέρακα. κοG ρακῖνος δὲ εἶδος ἰχθύος. ἔπαιξε δὲ ἀντὶ τοῦ κούρους.

BISETVS. Ἐπικεκράζουσι] ὅμοιόν τι καὶ παρὰ Πινδάρῳ Ὀλυμπίων ᾠδῇ β.

Κόρακες ὡς ,, Ἄκραντα γαρύετον ,, Διὸς πρὸς ὄρνιχα θεῖον.

Σχόλια. Συνδήσας Λακεδαιμονίων.] πάλιν τὴν ἀναφορὰν ποιεῖται ἐπὶ τὴν Πύλον καὶ τὴν Σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους τοὺς τ. οὓς ἔλαβε Δημοσθένης ἐπὶ Σικελίαν ἀπιών. ἤγαγε δὲ Κλέων. Παρεκινδύνευσε] πέρας γὰρ ὑπέθετο τοῖς Ἀθηναίοις ὁ Κλέων κατορθῶσαι τὸν ἐν τῇ Πύλῳ πόλεμον ἕως ἡμερῶν κ. καὶ θαυμάσαντες πάντες, ἔλεγον αὐτὸν μεθύειν. καὶ Θουκυδίδης δέ φησιν, ὅτι τῇ ἀπονοίᾳ τῆς ὑποσχέσεως ἐθαύμαζον οἱ Ἀθηναῖοι καὶ ἐγέλων. Κεκροπίδη.] ἀπὸ Κέκροπος τοῦ διφυοῦς τὸ γένος κατάγων. Καί κε γυνὴ φέροι.] ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροντο περὶ τῶν ἀριστείων, ὅ, τε Αἴας καὶ ὁ Ὀδυσσεύς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς. τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι, πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων, ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας. ὧν τὴν μὲν λέγειν, ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως διερχομένην οὕτως.

Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηϊοτῆτος
Ἥρω Πηλείδην, οὐδ' ἤθελε δῖος Ὀδυσσεύς.
τὴν δ' ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίᾳ.
Πῶς ἐπεφωνήσω. πῶς οὐ κατὰ κόσμον ἔειπες
Ψεῦδος.

τοῦτο δὲ ἵνα δείξῃ ὡς Δημοσθένους τοῦ Κλέωνος τὸ κατόρθωμα. ἄλλως. τοῦτο ἐκ τοῦ κύκλου ἀφείλκυσται.